## V

— εἰνάλι᾽ ὦ λαβύρινθε, τύ μοι λέγε, τίς σ᾽ ἀνέθηκεν
ἀγρέμιον πολιᾶς ἐξ ἁλὸς εὑρόμενος;
— παίγνιον Ἀντριάσιν Διονύσιος ἄνθετο Νύμφαις,
δῶρον δ᾽ ἐξ ἱερᾶς εἰμι Πελωριάδος,
υἱὸς Πρωτάρχου· σκολιὸς δ᾽ ἐξέπτυσε πορθμός,
ὄφρ᾽ εἴην λιπαρῶν παίγνιον Ἀντριάδων.

## VI

ἐκ δολίχου †τορα σφυρήλατον ὅς† τάχει κρατήσας
παῖς Ὡριστομάχειος ἀνείλετο χάλκεον λέβητα.

## VII

οὕτω δὴ Πύλιον τὸν Ἀγήνορος, ἄκριτε Μοῖρα,
πρώιον ἐξ ἥβης ἔθρισας Αἰολέων,
Κῆρας ἐπισσεύασα βίου κύνας; ὤ πόποι, ἀνήρ
οἷος ἀμειδήτῳ κεῖται ἕλωρ Ἀίδῃ.

## VIII

Θεύδοτε, κηδεμόνων μέγα δάκρυον, οἵ σε θανόντα
κώκυσαν μέλεον πυρσὸν ἀναψάμενοι,
αἰνόλινε, τρισάωρε, σὺ δ᾽ ἀντὶ γάμου τε καὶ ἥβης
κάλλιπες ἡδίστῃ μητρὶ γόους καὶ ἄχη.